το διὰ τὸ πρὸς πᾶσαν θύραν εἰςιέναι καὶ διδάσκειν.

Παρακαλῶν ποτε τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δέ, ἔφη· Τί γὰρ οὐχὶ καὶ ταῦτα σά ἐστι καθ' ἅπερ καὶ τὰ γόνατα; Ἔλεγέ τε ἀδύνατον ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥςπερ ἐν ῥοιᾷ [ἀεὶ] καὶ σαπρόν τινα κόκκον εἶναι.

Μενεδήμου τοῦ Ἐρετρικοῦ εὐπρεποῦς ὄντος καὶ δοκοῦντος χρησιμεύειν Ἀσκληπιάδῃ τῷ Φλιασίῳ, ἀψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη· Ἔνδον Ἀσκληπιάδης. Ἐφ' ᾧ δυςχεράνας ὁ Μενέδημος εἷλκεν αὐτὸν τοῦ ποδός. Ὁ δ' ἐπέλεγεν·

Ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

Συναισθόμενος δ' ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτόν·

Στείχεις δὴ φίλε [κυρτῶν],

ρεπανοίκτης διὰ τὸ εἰς πᾶσαν εἰςιέναι οἰκίαν καὶ νουθετεῖν.

VI, 5, 89. παρακαλῶν περί του τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δέ, ἔφη. «τί γάρ; οὐχὶ καὶ ταῦτα σά ἐστι καθάπερ καὶ τὰ γόνατα;» ἔλεγέ τ' ἀδύνατον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥςπερ ἐν ῥοιᾷ ἀεὶ καὶ σαπρόν τινα κόκκον εἶναι.

VI, 5, 91. Διοκλῆς δέ φησιν ἑλχθῆναι αὐτὸν ὑπὸ Μενεδήμου τοῦ Ἐρετρικοῦ. ἐπειδὴ γὰρ εὐπρεπὴς ἦν καὶ ἐδόκει χρησιμεύειν Ἀσκληπιάδῃ τῷ Φλιασίῳ, ἀψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη, «ἔνδον Ἀσκληπιάδης.» ἐφ' ᾧ δυςχεράναντα τὸν Μενέδημον ἕλκειν αὐτόν, τὸν δὲ τοῦτο ἐπιλέγειν.

VI, 5, 92. Συναισθανόμενος ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτὸν λέγων,

Στείχεις δή, φίλε κυρτῶν,

1. πρὸς ΔΠ: εἰς Ε 1-2. θύραν εἰςιέναι ΔΠ: εἰςιέναι οἰκίαν Ε 2. διδάσκειν ΔΠ: νουθετεῖν Ε 3. ποτε ΔΠ: περί του Ε 5. δὲ ΔΕ: δ' Π 6-7. καθ' ἅπερ ἔγραψα: καθάπερ ΔΠΕ 7. τε ΔΠ: τ' Ε 8. ἀδύνατον ΔΠ: ἀδύνατον εἶναι Ε εὑρεῖν Ε: ἐρεῖν ΔΠ 9. ἀεὶ Ε: λείπει ΔΠ 10. τινα κόκκον εἶναι ΔΕ: εἶναι κόκκον Π 11-12. μενεδήμου — δοκοῦντος ΔΠ: Διοκλῆς — ἐδόκει Ε 16-17. δυςχεράνας ὁ μενέδημος ΔΠ: δυςχεράναντα τὸν μενέδημον Ε 17. εἷλκεν ΔΠ: ἕλκειν Ε 17-18. τοῦ ποδὸς ὁ δ' ἐπέλεγεν ΔΠ: τὸν δὲ τοῦτο ἐπιλέγειν Ε 19-20. ἕλκε — θεσπεσίοιο ΔΠ: καὶ ἑλκόμενος τοῦ ποδὸς ἐπέλεγεν ἀφροντιστῶν ἕλκε — θεσπεσίοιο ἀνωτέρω ἐν τέλει § 90 Ε 21. συναισθόμενος ΔΠ: συναισθανόμενος Ε δ' Π: δὲ Δ: λείπει Ε 22. ἑαυτὸν ΔΠ: ἑαυτὸν λέγων Ε 24. φίλε Ε: φίλος ΔΠ κυρτῶν Ε: λείπει ΔΠ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

βαίνεις [τ'] εἰς Ἀΐδαο δόμους κυφός ⟨ὥρην⟩ διὰ γῆρας.

Τούτου παίγνια φέρονται τάδε·

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
καλὴ καὶ πίειρα, [περίρρυπος], οὐδὲν ἔχουσα,
εἰς ἣν οὔτε τις εἰςπλεῖ ἀνὴρ μωρὸς παράσιτος,
οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσιν·
ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους,
ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους περὶ τούτων,
οὐχ ὅπλα κέκτηνται περὶ κέρματος, οὐ περὶ δόξης.

Ἔστι καὶ ἐφημερὶς ἡ θρυλουμένη οὕτως ἔχουσα·

Τίθει μαγείρῳ μνᾶς δέκ', ἰατρῷ δραχμήν,
κόλακι τάλαντα πέντε, συμβούλῳ καπνόν,
πόρνῃ τάλαντον, φιλοσόφῳ τριώβολον.

βαίνεις τ' εἰς Ἀΐδαο δόμους κυφὸς διὰ γῆρας.
ἦν γὰρ κυφὸς ὑπὸ χρόνου.

VI, 5,85. Τούτου παίγνια φέρεται τάδε·

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
καλὴ καὶ πίειρα, περίρρυπος, οὐδὲν ἔχουσα,
εἰς ἣν οὔτε τις εἰςπλεῖ ἀνὴρ μωρὸς παράσιτος,
οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσιν·
ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους,
ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους περὶ τούτων,
οὐχ ὅπλα κέκτηνται περὶ κέρματος, οὐ περὶ δόξης.

VI, 5,86. ἔστι καὶ ἐφημερὶς ἡ θρυλουμένη οὕτως ἔχουσα·

Τίθει μαγείρῳ μνᾶς δέκ'; ἰατρῷ δραχμήν,
κόλακι τάλαντα πέντε, συμβούλῳ καπνόν,
πόρνῃ τάλαντον, φιλοσόφῳ τριώβολον.

1. τ' Ε: λείπει ΔΠ  2. ὥρην ΔΠ: λείπει Ε  3. ἦν — γῆρας Ε: λείπουσι ΔΠ  4. φέρονται ΔΠ: φέρεται Ε  6. τις Ε: τίς ΔΠ  ἐνὶ ΠΕ: ἐν Δ  8. περίρρυπος Ε: λείπει ΔΠ  10. οὔτε ΔΠ: οὔτέ Ε  εἰςπλεῖ Ε: πλεῖ ΔΠ  11. παράσιτος ΠΕ: παρασιτος Δ  14. σκόρδα Ε: σκόροδα ΔΠ  15. σῦκα Ε: σύκα ΔΠ  20-21. θρυλουμένη Ε: θρυλλουμένη ΔΠ  22. δέκ' Ε: δέκα ΔΠ  26-27. τριώβολον ΔΕ: τριόβολον Π

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Μητροκλῆς ὁ Μαρωνείτης ἀκούων Θεοφράστου τοσοῦτον διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ἀποπαρδών, ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν. Μαθὼν δὲ τοῦτο ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν παρακληθείς, θέρμους ἐπίτηδες βεβρωκώς. Ἔπειθε μὲν οὖν αὐτὸν διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι, εἰ μὴ καὶ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο· τέλος δὲ ἀποπαρδὼν ἀνέρρωσεν αὐτὸν ἀφ' ὁμοιότητος τῶν ἔργων. Τοὐντεῦθεν ἤκουεν αὐτοῦ καὶ ἐγένετο ἀνὴρ ἱκανὸς κατὰ φιλοσοφίαν.

VI, 6, 94. Μητροκλῆς ὁ Μαρωνείτης, ἀδελφὸς Ἱππαρχίας, ὃς πρότερον ἀκούων Θεοφράστου τοῦ περιπατητικοῦ τοσοῦτον διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ἀποπαρδὼν ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν, ἀποκαρτερεῖν βουλόμενος. μαθὼν δὴ ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν παρακληθεὶς [καὶ] θέρμους ἐπίτηδες βεβρωκὼς ἔπειθε μὲν αὐτὸν καὶ διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι εἰ μὴ καὶ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο· τέλος δὲ καὶ ἀποπαρδὼν αὐτὸν ἀνέρρωσεν, ἀφ' ὁμοιότητος τῶν ἔργων παραμυθησάμενος. τοὐντεῦθεν ἤκουεν αὐτοῦ καὶ ἐγένετο ἀνὴρ ἱκανὸς ἐν φιλοσοφίᾳ.

Ἱππαρχία ἡ ἀδελφὴ Μητροκλέους ἤρα τοῦ Κράτητος καὶ τῶν λόγων καὶ τοῦ βίου, οὐδενὸς τῶν μνηστευομένων ἐπιστρεφομένη, ἀλλὰ πάντ' ἦν αὐτῇ Κράτης. Καὶ δὴ καὶ ἠπείλει τοῖς γο-

VI, 7, 96. Ἐθηράθη δὲ τοῖς λόγοις καὶ ἡ ἀδελφὴ τοῦ Μητροκλέους Ἱππαρχία. Μαρωνῖται δ' ἦσαν ἀμφότεροι. καὶ ἤρα τοῦ Κράτητος καὶ τῶν λόγων καὶ τοῦ βίου, οὐδενὸς τῶν μνηστευομένων

1-2. ἀκούων ΔΠ: ἀδελφὸς Ἱππαρχίας ὃς πρότερον Ε  2. θεοφράστου ΔΠ: Θεοφράστου τοῦ περιπατητικοῦ Ε  3. ποτὲ ΔΕ: λείπει Π  5. ἦν ΔΠ: ἦν ἀποκαρτερεῖν βουλόμενος Ε  6. δὲ τοῦτο ΔΠ: δὴ Ε  7. παρακληθεὶς ΠΕ: λείπει Δ  θέρμους ΔΠ: [καὶ] θέρμους Ε  9. οὖν ΔΠ: λείπει Ε  διὰ ΔΠ: καὶ διὰ Ε  13. δὲ ΔΠ: δὲ καὶ Ε  13-14. ἀνέρρωσεν αὐτὸν ΔΠ: αὐτὸν ἀνέρρωσεν Ε  14. ἔργων ΔΠ: ἔργων παραμυθησάμενος Ε  16-17. κατὰ φιλοσοφίαν ΔΠ: ἐν φιλοσοφίᾳ Ε  22-23. Ἱππαρχία — μητροκλέους ΔΠ: Ἐθηράθη — ἀμφότεροι καὶ Ε  25. μνηστευομένων ΠΕ: νηστευομένων Δ  26. ἀλλὰ ΔΠ: οὐ πλούτου, οὐκ εὐγενείας, οὐ κάλλους· ἀλλὰ Ε  26-27. αὐτῇ κράτης ΔΠ: Κράτης αὐτῇ Ε

νεῦσιν ἀναιρήσειν ἑαυτήν, εἰ μὴ τούτῳ δοθείη. Κράτης μὲν οὖν, παρακαλούμενος ὑπὸ τῶν γονέων αὐτῆς ἀποστρέψαι τὴν παῖδα, πάντα ἐποίει, καὶ τέλος μὴ πείθων, ἀναστὰς καὶ ἀποθέμενος τὴν ἑαυτοῦ σκευὴν ἀντικρὺ αὐτῆς, ἔφη· Ὁ μὲν νυμφίος οὗτος, ἡ δὲ κτῆσις αὕτη· πρὸς ταῦτα βουλεύου· οὐδὲ γὰρ ἔσῃ κοινωνός, εἰ μὴ καὶ τῶν ἐπιτηδευμάτων γενηθείης. Εἵλετο ἡ παῖς, καί, ταὐτὸν ἀναλαβοῦσα σχῆμα, συμπεριῄει τἀνδρὶ καὶ ἐπὶ τὰ δεῖπνα συναπῄει. Καί ποτε πρὸς Λυσίμαχον εἰς τὸ συμπόσιον ἐλθοῦσα, Θεόδωρον τὸν Ἄθεον ἤλεγξε, σόφισμα προτείνασα τοιοῦτον· Ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοιοῦτον ἀδικεῖν λέγοιτ' ἄν· Θεόδωρος δὲ τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ· οὐδ' ἄρα Ἱππαρχία τύπτουσα Θεόδωρον ἀδικεῖ. Ὁ δὲ πρὸς μὲν τὸ λεχθὲν οὐδὲν ἀπήντησεν, ἀνέσυρε δ' αὐτῆς θοἰμάτιον· ἀλλ' οὔτε κατεπλάγη Ἱπ-

ἐπιστρεφομένη, οὐ πλούτου, οὐκ εὐγενείας, οὐ κάλλους· ἀλλὰ πάντ' ἦν Κράτης αὐτῇ. καὶ δὴ καὶ ἠπείλει τοῖς γονεῦσιν ἀναιρήσειν αὑτήν, εἰ μὴ τούτῳ δοθείη. Κράτης μὲν οὖν παρακαλούμενος ὑπὸ τῶν γονέων αὐτῆς ἀποτρέψαι τὴν παῖδα, πάντ' ἐποίει, καὶ τέλος μὴ πείθων, ἀναστὰς καὶ ἀποθέμενος τὴν ἑαυτοῦ σκευὴν ἀντικρὺ αὐτῆς ἔφη, «ὁ μὲν νυμφίος οὗτος, ἡ δὲ κτῆσις αὕτη, πρὸς ταῦτα βουλεύου· οὐδὲ γὰρ ἔσεσθαι κοινωνός, εἰ μὴ καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων γενηθείης.» (97) εἵλετο ἡ παῖς καὶ ταὐτὸν ἀναλαβοῦσα σχῆμα συμπεριῄει τἀνδρὶ καὶ ἐν τῷ φανερῷ συνεγίνετο καὶ ἐπὶ τὰ δεῖπνα ἀπῄει. ὅτε καὶ πρὸς Λυσίμαχον εἰς τὸ συμπόσιον ἦλθεν, ἔνθα Θεόδωρον τὸν ἐπίκλην Ἄθεον ἐπήλεγξε, σόφισμα προτείνασα τοιοῦτον· Ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτ' ἄν· Θεόδωρος δὲ τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ, οὐδ'

1. ἑαυτὴν ΔΠ : αὑτὴν Ε 2. οὖν ἐν τῷ κειμένῳ ἑξῆς ΔΕ: ἐν τῷ κειμένῳ ἄνωθεν Π 4. ἀποστρέψαι ΔΠ : ἀποτρέψαι Ε 5. πάντα ΔΠ: παντ' Ε 7. αὐτῆς ΔΕ: ταύτης Π 10. ἔσῃ Δ: ἔσεσθαι ΠΕ 11. τῶν ΔΠ : τῶν αὐτῶν Ε 14. τἀνδρὶ ΔΠ: τἀνδρὶ—συνεγίνετο Ε 14-15. συναπῄει Δ : ἀπῄει ΠΕ 15. καί ποτε ΔΠ : ὅτε καὶ Ε 16. ἐλθοῦσα ΔΠ : ἦλθεν ἔνθα Ε 16-17. θεόδωρον τὸν ἄθεον ἤλεγξε Δ: ἤλεγξε τὸν ἄθεον θεόδωρον Π: Θεόδωρον τὸν ἐπίκλην Ἄθεον ἐπήλεγξε Ε 21. τοιοῦτον ΔΠ: τοῦτο Ε 23-24. τύπτουσα θεόδωρον ΔΠ: Θεόδωρον τύπτουσα Ε 25. μὲν ΔΕ: λείπει Π

παρχία, οὔτε διεταράχθη ὡς γυνή. Ἀλλὰ καὶ εἰπόντος αὐτῇ

Αὕτη ἐστὶν ἡ τὰς παρ' ἱστοῖς
ἐκλιποῦσα κερκίδας;

Ἐγώ, φησίν, εἰμι, Θεόδωρε· ἀλλὰ μὴν κακῶς σοι βεβουλεῦσθαι δοκῶ περὶ ἑαυτῆς, εἰ τὸν χρόνον ὃν ἔμελλον ἱστοῖς προςαναλώσειν, τοῦτον εἰς παιδείαν κατεχρησάμην;

ἄρα Ἱππαρχία Θεόδωρον τύπτουσα ἀδικεῖ. ὁ δὲ πρὸς μὲν τὸ λεχθὲν οὐδὲν ἀπήντησεν, ἀνέσυρε δ' αὐτῆς θοιμάτιον· ἀλλ' οὔτε κατεπλάγη Ἱππαρχία οὔτε διεταράχθη ὡς γυνή. (98) ἀλλὰ καὶ εἰπόντος αὐτῇ,

Τίς τὰς παρ' ἱστοῖς ἐκλιποῦσα
κερκίδας;

«ἐγώ, φησίν, εἰμί, Θεόδωρε· ἀλλὰ μὴ κακῶς σοι δοκῶ βεβουλεῦσθαι περὶ αὑτῆς εἰ, τὸν χρόνον ὃν ἔμελλον ἱστοῖς προςαναλώσειν, τοῦτον εἰς παιδείαν κατεχρησάμην;»

Ζήνων ὁ Κιτιεὺς ἰσχνὸς ἦν, ὑπομήκης, μελάγχρους. Ὅθεν τις αὐτὸν εἶπεν Αἰγυπτίαν κληματίδα.

VII, 1, 1. Ζήνων Μνασέου [ἢ Δημέου] Κιτιεὺς... καὶ Ἀπολλώνιος δέ φησιν ὁ Τύριος ὅτι ἰσχνὸς ἦν, ὑπομήκης, μελάγχρους — ὅθεν τις αὐτὸν εἶπεν Αἰγυπτίαν κληματίδα...

Τούτου χρηστηριαζομένου τί πράττων ἄριστα βιώσεται, ἀπεκρίνατο ἡ Πυθία, εἰ συγχρωτίζοιτο νεκροῖς· ὅθεν συνέντα τὰ τῶν ἀρχαίων ἀναγινώσκειν. Τοῦ-

VII, 1, 2. χρηστηριαζομένου αὐτοῦ τί πράττων ἄριστα βιώσεται, ἀποκρίνασθαι τὸν θεόν, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅθεν ξυνέντα τὰ τῶν ἀρχαίων ἀναγι-

3. αὕτη ἐστὶν ἡ ΔΠ: Τίς Ε  5. εἰμι ἔγραφα: εἰμί ΔΠΕ  6. μὴν Δ: μὴ ΠΕ  σοι ΔΕ: λείπει Π  βεβουλεῦσθαι δοκῶ Δ: δοκῶ βεβουλεῦσθαι ΠΕ  7. ἑαυτῆς ΔΠ: αὑτῆς Ε  17. Ζήνων ὁ κιτιεὺς ΔΠ: Ζήνων — ὅτι Ε  19. αὐτὸν εἶπεν ΔΞ: εἶπεν αὐτὸν Π  23. τούτου χρηστηριαζομένου ΔΠ: χρηστηριαζομένου αὐτοῦ Ε  24-25. ἀπεκρίνατο Δ: ἀπεκρίθη Π: ἀποκρίνασθαι Ε  25. ἡ πυθία ΔΠ: τὸν θεὸν Ε  26. νεκροῖς ΔΠ: τοῖς νεκροῖς Ε  συνέντα ἔγραφα: συνιέντα ΔΠ: ξυνέντα Ε  27. ἀναγινώσκειν ΔΠ: ἀναγινώσκειν — τρόπον Ε  27-σ. 358,1. τοῦτόν φασι ἔγραφα: τοῦτον φασὶ ΠΕ: λείπουσιν Ε

Ε.Υ. Λ.τσκ. Π
ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| τόν φασι πορφύραν ἐμπεπορευμένον ἀπὸ Φοινίκης πρὸς τῷ Πειραιεῖ ναυαγῆσαι | νώσκειν. τῷ οὖν Κράτητι παρέβαλε τοῦτον τὸν τρόπον. πορφύραν ἐμπεπορευμένος ἀπὸ τῆς Φοινίκης πρὸς τῷ Πειραιεῖ ἐναυάγησεν. |
| καὶ εἰπεῖν Νῦν εὐπεπλόηκα ὅτε νεναυάγηκα, καὶ Εὖ γε ἡ τύχη ποιεῖ προςελαύνουσα ἡμᾶς φιλοσοφίᾳ. | VII, 1,4. ἵνα καὶ φασιν αὐτὸν εἰπεῖν, « νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα. » ... (5) ἄλλοι δέ, διατρίβοντα ἐν ταῖς Ἀθήναις ἀκοῦσαι τὴν ναυαγίαν καὶ εἰπεῖν, « εὖγε ποιεῖς, τύχης, προςελαύνουσα ἡμᾶς φιλοσοφίᾳ. |
| Ἕως μὲν οὖν τινος ἤκουε Κράτητος καὶ τὴν Πολιτείαν αὐτοῦ ἔγραψεν· ἐφ' ᾧ καί τινες παίζοντες ἔλεγον ἐπὶ τῆς τοῦ κυνὸς οὐρᾶς αὐτὸν γεγραφέναι μετὰ δὲ ἀπέστη πρὸς Στίλπωνα. | VII, 1,4. « ἕως μὲν οὖν τινὸς ἤκουσε τοῦ Κράτητος· ὅτε καὶ τὴν Πολιτείαν αὐτοῦ γράψαντος, τινὲς ἔλεγον παίζοντες ἐπὶ τῆς τοῦ κυνὸς οὐρᾶς αὐτὴν γεγραφέναι.... Τελευταῖον δὲ ἀπέστη καὶ τῶν προειρημένων ἤκουσεν (πρβλ. VII, 1,2: εἶτα καὶ Στίλπωνος ἀκοῦσαί φασιν αὐτόν.) |
| Ὅτε καί, τοῦ Κράτητος ἕλκοντος αὐτὸν τοῦ ἱματίου ἀπὸ Στίλπωνος, εἶπεν· Ὦ Κράτης, λαβὶς φιλοσόφων ἐστὶν ἐπιδέξιος | VII, 1,4. φησὶ δ' Ἀπολλώνιος ὁ Τύριος, ἕλκοντος αὐτὸν Κράτητος τοῦ ἱματίου ἀπὸ Στίλπωνος, εἰπεῖν, « ὦ Κράτης, λαβὴ |

1-2. ἐμπεπορευμένον ΔΠ: ἐμπεπορευμένος Ε  2. ἀπὸ ΔΠ: ἀπὸ τῆς Ε  3. ναυαγῆσαι ΔΠ: ἐναυάγησεν Ε  6. καὶ ΔΠ: ἵνα — αὐτὸν Ε  εὐπεπλόηκα ΔΠ: εὐπλόηκα Ε  7. καὶ εὖ γε ΔΠ: ἄλλοι — εὖγε Ε  7-8. ἡ τύχη ποιεῖ ΔΠ: ποιεῖς, τύχης (γρ. τύχη) Ε  13. τινος ἤκουε ΔΠ: τινὸς ἤκουσε τοῦ Ε  14. καὶ ΔΠ: ὅτε καὶ Ε  15-16. ἔγραψεν ἐφῷ — ἔλεγον ΔΠ: γράψαντος — παίζοντες Ε  17. αὐτὸν ΔΠ: αὐτὴν Ε  17-18. μετὰ — στίλπωνα ΔΠ: τελευταῖον — ἤκουσεν Ε  18. Στίλπωνα ἔγραψα: στίλπνωνα ΔΠ  22. ὅτε καὶ ΠΔ: φησὶ — Τύριος Ε  23. αὐτὴν ΔΠ· αὐτὸν Κράτητος Ε  24. Στίλπωνος Ε: στίλπνωνος ΔΠ  εἶπεν ΔΠ: εἰπεῖν Ε  25. λαβὶς ΔΠ: λαβὴ Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ... ΙΩΑΝΝΙΝΑ 2006

ἢ τῶν ὤτων· πείσας οὖν ἕλκε τούτων· εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρὰ σοὶ ἔσται, ἡ δὲ ψυχὴ παρὰ Στίλπωνι.»

Ἀπεδέχετο δ' αὐτὸν Ἀντίγονος, καί, εἴ ποτε Ἀθήναζε ἥκοι, ἤκουεν αὐτοῦ.

Λέγεται δὲ καὶ μετὰ τελευτὴν τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπολωλεκώς. Ἐρωτηθεὶς δὲ διὰ τί θαυμάζει αὐτόν, Ὅτι, ἔφη, πολλῶν καὶ μεγάλων αὐτῷ διδομένων ὑπ' ἐμοῦ, οὐδέποτ' ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη.

Καλλωπιστοῦ τινος ὀχέτιόν τι ὀκνηρῶς ὑπερβαίνοντος, Δικαίως, εἶπεν, ὑφορᾷ τὸν πηλόν· οὐ γάρ ἐστιν ἐν αὐτῷ κατοπτρίσασθαι.

Ἔφασκε τοὺς μὲν τῶν ἀσολοίκων λόγους καὶ ἀπηρτισμένους ὁμοίους εἶναι τῷ ἀργυρίῳ τῷ Ἀλεξανδρηνῷ, εὐοφθάλμους μὲν καὶ περιγεγλυμμένους, καθ' ἃ καὶ

φιλοσόφων ἐστὶν ἐπιδέξιος ἢ διὰ τῶν ὤτων· πείσας οὖν ἕλκε τούτων· εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρὰ σοὶ ἔσται, ἡ δὲ ψυχὴ παρὰ Στίλπωνι.»

VII, 1, 6 Ἀπεδέχετο δ' αὐτὸν καὶ Ἀντίγονος καὶ εἴ ποτ' Ἀθήναζε ἥκοι, ἤκουεν αὐτοῦ...

VII, 1, 15. λέγεται δὲ καὶ μετὰ τὴν τελευτὴν τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπολωλεκώς·.. ἐρωτηθεὶς δὲ διὰ τί θαυμάζει αὐτόν, «ὅτι, ἔφη, πολλῶν καὶ μεγάλων αὐτῷ διδομένων ὑπ' ἐμοῦ οὐδέποτ' ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη.»

VII, 1.16. λέγω δὲ οἷον ἐπὶ τοῦ καλλωπιζομένου ποτὲ ἔφη. (17) ὀχέτιον γάρ τι ὀκνηρῶς αὐτοῦ ὑπερβαίνοντος, «δικαίως, εἶπεν, ὑφορᾷ τὸν πηλόν· οὐ γάρ ἐστιν ἐν αὐτῷ κατοπτρίσασθαι.»

VII, 1, 18. ἔφασκε δὲ τοὺς μὲν τῶν ἀσολοίκων λόγους καὶ ἀπηρτισμένους ὁμοίους εἶναι τῷ ἀργυρίῳ τῷ Ἀλεξανδρηνῷ· εὐοφθάλμους μὲν καὶ περιγεγραμμέ-

1. τῶν ΔΠ: διὰ τῶν Ε  3. ἡ δὲ ψυχὴ ΠΕ: ἡ ψυχὴ δὲ Δ  4. Στίλπωνι Ε: στίλπνωνι ΔΠ  6. αὐτὸν ΔΠ: αὐτὸν καὶ Ε  7. ποτε ΔΠ: ποτ' Ε  9. μετὰ ΔΠ: μετὰ τὴν Ε  16. ταπεινὸς ὤφθη ΔΕ: ἐταπεινώθη Π  17. καλλωπιστοῦ ΔΠ: λεγω—ἔφη Ε  ὀχέτιόν τι Π: ὀχέτιον Δ: ὀχέτιον γάρ τι Ε  18 ὀκνηρῶς ΔΠ: ὀκνηρῶς αὐτοῦ Ε  23. ἔφασκε Π: οὗτος ἔφασκε Δ: ἔφασκε δὲ Ε  23-24. τῶν ἀσολοίκων ΔΕ: ἀσολοίκους Π  27. περιγεγλυμμένους Δ: περιγεγραμμένους ΠΕ  καθ' ἃ ἔγραψα: καθα ΔΠΕ

ΙΩΑΝΝΙΝΑ 2006

τὸ νόμισμα, οὐδὲν δὲ διὰ ταῦτα βελτίονας· τοὺς δὲ τοὐναντίον ἀφωμοίου τοῖς ἀττικοῖς τετραδράχμοις, εἰκῇ μὲν κεκομμένοις καὶ σολοικικῶς, καθέλκειν μέντοι πολλάκις τὰς κεκαλλιγραφημένας λέξεις.

νοὺς καθὰ καὶ τὸ νόμισμα, οὐδὲν δὲ διὰ ταῦτα βελτίους. τοὺς δὲ τοὐναντίον ἀφωμοίου τοῖς Ἀττικοῖς τετραδράχμοις, εἰκῇ μὲν κεκομμένοις καὶ σολοίκως, καθέλκειν μέντοι πολλάκις τὰς κεκαλλιγραφημένας λέξεις.

Πρὸς ὀψοφάγον μηδὲν τοῖς συμβιωταῖς καταλείποντα, παρατεθέντος ποτὲ μεγάλου ἰχθύος, ἄρας οἷος ἦν κατεσθίειν· ἐμβλέψαντος δέ, Τί οὖν, ἔφη, τοὺς συμβιώτας πάσχειν καθ' ἡμέραν, εἰ μὴ σὺ δύνασαι ἐνεγκεῖν τὴν ἐμὴν ὀψοφαγίαν;

VII, 1,19. πρὸς δὲ τὸν ὀψοφάγον μηδὲν τοῖς συμβιωταῖς καταλιπόντα, παρατεθέντος ποτὲ μεγάλου ἰχθύος, ἄρας οἷος ἦν κατεσθίειν· ἐμβλέψαντος δὲ «τί οὖν, ἔφη, τοὺς συμβιωτὰς οἴει πάσχειν καθ' ἡμέραν, εἰ σὺ μίαν μὴ δύνασαι ἐνεγκεῖν τὴν ἐμὴν ὀψοφαγίαν;»

Πρὸς τὸν φάσκοντα ὡς τὰ πολλὰ αὐτῷ Ἀντισθένης οὐκ ἀρέσκει, χρείαν Σοφοκλέους προσενεγκάμενος, ἠρώτησεν, εἴ τινα καὶ καλὰ ἔχειν αὐτῷ δοκεῖ. Τοῦ δ' οὐκ εἰδέναι φήσαντος, Εἶτ' οὐκ αἰσχύνῃ, ἔφη, εἰ μέν τι κακὸν εἴη εἰρημένον ὑπ' Ἀντισθένους τοῦτ' ἐκλεγόμενος καὶ μνημονεύων, εἰ δέ τι

VII, 1,19. πρὸς δὲ τὸν φάσκοντα ὡς τὰ πολλὰ αὐτῷ Ἀντισθένης οὐκ ἀρέσκοι, χρείαν Σοφοκλέους προενεγκάμενος ἠρώτησεν εἴ τινα καὶ καλὰ ἔχειν αὐτῷ δοκεῖν· τοῦ δ' οὐκ εἰδέναι φήσαντος, «εἶτ' οὐκ αἰσχύνῃ, ἔφη, εἰ μέν τι κακὸν εἴη εἰρημένον ὑπ' Ἀντισθένους, τοῦτ' ἐκλεγόμενος

1. διὰ ταῦτα ΠΕ: διαταῦτα Δ  2. βελτίονας ΔΠ: βελτίους Ε  5. σολοικικῶς ΔΠ: σολοίκως Ε  8. πρὸς ΔΠ: πρὸς δὲ τὸν Ε  9. συμβιωταῖς Ε: συμβιώταις ΔΠ  καταλείποντα ΔΠ: καταλιπόντα Ε  11. οἷος Ε: οἷός τ' ΔΠ  13. συμβιωτὰς Ε: συμβιώτας ΔΠ  πάσχειν ΔΠ: οἴει πάσχειν Ε  καθ' ἡμέραν Ε: καθημέραν ΔΠ  14. μὴ σὺ ΔΠ: σὺ μίαν μὴ Ε  17. τὸν ΔΠ: δὲ τὸν Ε  18. αὐτῷ ἀντισθένης ΔΕ: ·αὐτῷ· ἀντισθένης αὐτῷ Π  ἀρέσκει ΔΠ: ἀρέσκοι Ε  19-20. προσενεγκάμενος ΠΕ: εἰσενεγκάμενος Δ: προενεγκάμενος Ε  20. καὶ ΔΕ: λείπει Π  21. ἔχειν αὐτῷ ΔΕ: αὐτῷ ἔχειν Π  δ' ΠΕ: δὲ Δ  25 - σ. 361,2: κακὸν εἴη (ἦν Π) — κατέχειν ΠΕ: καλὸν ἦν εἰρημένον ὑπ' ἀντισθένους οὐδὲ ὑποβαλλόμενος κατέχειν, εἰ δέ τι κακόν, τοῦτ' ἐκλεγόμενος καὶ μνημονεύων Δ

| | |
|---|---|
| καλὸν οὐδ' ἐπιβαλλόμενος κατέχειν; | καὶ μνημονεύων, εἰ δέ τι καλόν, οὐδ' ἐπιβαλλόμενος κατέχειν;» |
| Δεῖν ἔλεγε τὸν διαλεγόμενον ὥσπερ τοὺς ὑποκριτὰς τὴν μὲν φωνὴν καὶ τὴν δύναμιν μεγάλην ἔχειν, τὸ μέντοι στόμα μὴ διέλκειν, ὃ ποιεῖν τοὺς πολλὰ λαλοῦντας μέν, ἀδύνατα δέ. | VII, 1, 20. δεῖν δ' ἔφη τὸν διαλεγόμενον ὥσπερ τοὺς ὑποκριτὰς τὴν μὲν φωνὴν καὶ τὴν δύναμιν μεγάλην ἔχειν, τὸ μέντοι στόμα μὴ διέλκειν· ὃ ποιεῖν τοὺς πολλὰ μὲν λαλοῦντας, ἀδύνατα δέ. |
| Νεανίσκου τινὸς πολλὰ λαλοῦντος ἔφη· Τὰ ὦτά σου ἐς τὴν γλῶτταν συνερρύηκε. | VII, 1, 21. νεανίσκου πολλὰ λαλοῦντος, ἔφη, «τὰ ὦτά σου εἰς τὴν γλῶτταν συνερρύηκε.» |
| Τῶν μαθητῶν αὐτοῦ τινος μεγάλα φυσῶντος πατάξας εἶπεν ὡς οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἴη, ἀλλ' ἐν τῷ εὖ τὸ μέγα. | VII, 1, 21. καὶ προεφέρετο τὰ τοῦ Καφισίου, ὃς ἐπιβαλλομένου τινὸς τῶν μαθητῶν μεγάλα φυσᾶν, πατάξας εἶπεν ὡς οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἴη, ἀλλ' ἐν τῷ εὖ τὸ μέγα. |
| Δοῦλον ἐπὶ κλοπῇ ἐμαστίγου· τοῦ δὲ εἰπόντος Εἵμαρτο μοι κλέψαι, Εἰ κλέψαι, ἔφη, εἵμαρτο, καὶ δαρῆναι. | VII, 1, 23. δοῦλον ἐπὶ κλοπῇ, φασίν, ἐμαστίγου· τοῦ δ' εἰπόντος, «εἵμαρτό μοι κλέψαι,» «καὶ δαρῆναι,» ἔφη. |
| Ἐν συμποσίῳ κατακείμενος σιγῇ πρὸς τῶν παρὰ τοῦ Πτολεμαίου ἀποσταλέντων πρέσβεων ἠρωτήθη τί δεῖ περὶ σοῦ λέγειν πρὸς τὸν βασιλέα. Ὁ δὲ εἶπεν· | VII, 1, 24. ἐν συμποσίῳ κατακείμενος σιγῇ τὴν αἰτίαν ἠρωτήθη· ἔφη οὖν τῷ ἐγκαλέσαντι ἀπαγγεῖλαι πρὸς τὸν βασιλέα ὅτι παρῆν τις σιωπᾶν ἐπιστάμενος· |

1. ἐπιβαλλόμενος Ε: ὑποβαλλόμενος ΔΠ  3-8. δεῖν — δὲ ΠΕ: λείπουσι Δ  3. ἔλεγε τὸν ἔγραψα: ἔλεγε τῷ νῷ Π: δ' ἔφη τὸν Ε  7-8. πολλὰ λαλοῦντας μὲν ἔγραψα: πολλοὺς λαλοῦντας μὲν Π: πολλὰ μὲν λαλοῦντας Ε  9. τινὸς ΔΠ: λείπει Ε  10. ὦτά Ε: ὦτα ΔΠ  ἐς ΔΠ: εἰς Ε  11. συνερρύηκε Ε: συνερρύηκεν ΔΠ  12-13. τῶν μαθητῶν — φυσῶντος ΔΠ: καὶ προεφέρετο — φυσᾶν Ε  18. κλοπῇ ΔΠ: κλοπῇ φασὶν Ε  19. δὲ ΔΠ: δ' Ε  20. εἰ κλέψαι ἔφη — δαρῆναι Δ: εἰ κλέψαι εἵμαρτο καὶ δαρῆναι Π: καὶ δαρῆναι ἔφη Ε  23-σ. 362,2. πρὸς τῶν — σιωπᾶν ΔΠ: ἔφη οὖν — αὐτοῦ πρὸς τὸν βασιλέα Ε

Ε.Υ.Δ. τ.Φ. Κ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

Ἀπαγγείλατε, ὅτι παρῆν τις πρεσβύτης εἰδὼς σιωπᾶν.

Ἐρωτηθεὶς διὰ τί αὐστηρὸς ὢν ἐν τῷ πότῳ διαχεῖται, ἔφη, ὅτι καὶ οἱ θέρμοι πικροὶ ὄντες βρεχόμενοι γλυκαίνονται.

Ἦν δὲ καρτερικώτατος καὶ λιτότατος καὶ ἀπύρῳ τροφῇ χρώμενος καὶ τρίβωνι λεπτῷ, ὥςτε λέγεσθαι ἐπ' αὐτοῦ·

Τὸν δ' οὔτ' ἂρ χειμὼν κρυόεις,
οὐκ ὄμβρος ἀπείρων,
οὐ φλὸξ ἠελίοιο δαμάζεται, οὐ
νόσος αἰνή·
οὐκ ἔροτις δήμου ἐναρεῖ μένος.
ἀλλ' ὅγ' ἀτειρὴς
ἀμφὶ διδασκαλίῃ τέταται νύκτας
τε καὶ ἦμαρ.

Οὗτος ἐκ τῆς σχολῆς ἀπιὼν προςέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε· παίσας δὲ τὴν γῆν τῇ χειρί, φησι τὸ ἐκ τῆς Νιόβης

Ἔρχομαι· τί μ' αὔεις;

ἦσαν δὲ οἱ ἐρωτήσαντες παρὰ Πτολεμαίου πρέσβεις ἀφικόμενοι καὶ βουλόμενοι μαθεῖν τί εἴποιεν παρ' αὐτοῦ πρὸς τὸν βασιλέα.

VII. 1, 26. ἐρωτηθεὶς δὲ διὰ τί αὐστηρὸς ὢν ἐν τῷ πότῳ διαχεῖται, ἔφη, «καὶ οἱ θέρμοι πικροὶ ὄντες βρεχόμενοι γλυκαίνονται.»

VII, 1, 26. Ἦν δὲ καρτερικώτατος καὶ λιτότατος, ἀπύρῳ τροφῇ χρώμενος καὶ τρίβωνι λεπτῷ. (27) ὥςτε λέγεσθαι ἐπ' αὐτοῦ·

Τὸν δ' οὔτ' ἂρ χειμὼν κρυόεις,
οὐκ ὄμβρος ἀπείρων,
οὐ φλὸξ ἠελίοιο δαμάζεται, οὐ
νόσος αἰνή,
οὐκ ἔροτις δήμου ἐναρεῖ μένος,
ἀλλ' ὅγ' ἀτειρὴς
ἀμφὶ διδασκαλίῃ τέταται νύκτας
τε καὶ ἦμαρ.

VII, 1, 28. ἐτελεύτα δὴ οὕτως· ἐκ τῆς σχολῆς ἀπιὼν προςέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε· παίσας δὲ τὴν γῆν τῇ χειρί. φησὶ τὸ ἐκ τῆς Νιόβης

1. ἀπαγγείλατε Π: ἀπαγγείλατε εἰς τὸ συμπόσιον Δ: ἀπαγγεῖλαι Ε 1-2. πρεσβύτης εἰδὼς σιωπᾶν ΔΠ: σιωπᾶν ἐπιστάμενος Ε 5. ἐρωτηθεὶς ΔΠ: ἐρωτηθεὶς δὲ Ε 6. ὅτι ΔΠ: λείπει Ε 10. δὲ ΔΕ: δὲ καὶ Π 10-11. λιτότατος ΠΕ: λιτώτατος Δ 11. καὶ ἀπύρῳ ΔΠ: ἀπύρῳ Ε 13. αὐτοῦ ΠΕ: αὐτῷ Δ 14. ἂρ ΠΕ: ἄρ' Δ 17. νοσος Ε: νοῦσος ΔΠ αἰνὴ ΔΕ: δεινὴ Π 18. ἔροτις Ε: ἐρωτὶς ΔΠ ἐναρεῖ μένος Ε: ἐναρίθμιος Π: λείπει Δ 21. ἦμαρ Ε: ἦμαρ ΔΠ 22. οὗτος ΔΠ: ἐτελεύτα δὴ οὕτως Ε 25. φησι ΔΠ: φησὶ Ε ἐκ ΠΕ: λείπει Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠΕΑΕΚ ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

καὶ παρὰ χρῆμα ἐτελεύτησεν ἀποπνίξας ἑαυτόν.

Ἔρχομαι· τί μ' αὔεις; καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν.

Πυθαγόρας ἐρωτηθεὶς πότε δεῖ πλησιάζειν γυναικί, ἔφη· Ὅτε βούλει γενέσθαι σεαυτοῦ ἀσθενέστερος. Οὕτω δὲ διῄρει τὸν ἀνθρώπινον βίον· Παῖς εἴκοσιν ἔτη, ἔαρ· νεανίσκος ἤτοι μειράκιον εἴκοσιν ἔτη, θέρος· νεανίας ἤτοι ἀνὴρ εἴκοσιν ἔτη, φθινόπωρον· γέρων [εἴκοσιν ἔτη], χειμών.

VIII, 1.9. ἀλλὰ καὶ ποτ' ἐρωτηθέντα πότε δεῖ πλησιάζειν εἰπεῖν· ὅταν βούλῃ γενέσθαι σωυτοῦ ἀσθενέστερος. (10) διαιρεῖται δὲ καὶ τὸν τοῦ ἀνθρώπου βίον οὕτως· «Παῖς εἴκοσι ἔτεα, νεηνίσκος εἴκοσι, νεηνίης εἴκοσι, γέρων εἴκοσι. αἱ δὲ ἡλικίαι πρὸς τὰς ὥρας ὧδε σύμμετροι· παῖς ἔαρ, νεηνίσκος θέρος, νεηνίης φθινόπωρον, γέρων χειμών.» ἔστι δ' αὐτῷ ὁ μὲν νεηνίσκος μειράκιον, ὁ δὲ νεηνίης ἀνήρ.

Ἀπηγόρευε καὶ ζώων ἅπτεσθαι, πρόσχημα μὲν ὡς μετεχόντων ψυχῆς, τὸ δ' ἀληθὲς εἰς εὐκολίαν βίου τοὺς ἀνθρώπους ἐθίζων, ὥςτ' εὐπορίστους αὐτοῖς εἶναι τὰς τροφάς, ἄπυρα προςφερομένοις καὶ ὕδωρ πίνουσι. Διὸ καὶ μόνον τὸν ἐν Δήλῳ ναὸν Ἀπόλλωνος Γενέτορος προςεκύνησε διὰ τὸ ἄπυρα τίθεσθαι ἐπ' αὐτοῦ, ἱερεῖον δὲ μηδέν.

VIII, 1,13. τοῦτον γὰρ καὶ τὸ φονεύειν ἀπαγορεύειν, μὴ ὅτι γεύεσθαι τῶν ζῴων κοινὸν δίκαιον ἡμῖν ἐχόντων ψυχῆς. καὶ τόδε μὲν ἦν τὸ πρόσχημα· τὸ δ' ἀληθὲς τῶν ἐμψύχων ἀπηγόρευεν ἅπτεσθαι συνασκῶν καὶ συνεθίζων εἰς εὐκολίαν βίου τοὺς ἀνθρώπους, ὥςτε εὐποριστους αὐτοῖς εἶναι τὰς τροφάς, ἄπυρα προςφερομένοις καὶ λιτὸν ὕδωρ πίνουσιν· ἐντεῦθεν γὰρ καὶ σώματος ὑγίειαν καὶ ψυχῆς ὀξύτητα περιγίνεσθαι. ἀμέ-

1. παρὰ χρῆμα ἔγραψα: παραχρῆμα ΔΠΕ 5-6. Πυθαγόρας—ἔφη ΔΠ: ἀλλὰ — εἰπεῖν Ε 6 γυναικὶ ἔφη ΔΠ: εἰπεῖν Ε 6-7. ὅτε βούλει ΔΠ: ὅταν βούλῃ Ε 7. σεαυτοῦ ΔΠ: σωυτοῦ Ε 8-13. Οὕτω —χειμών ΔΠ: διαιρεῖται — ἀνήρ Ε 9. εἴκοσιν Π: εἴκοσι ΔΕ 10-11. (καὶ 12). εἴκοσιν Π: εἴκοσι ΔΕ 11. νεανίας ΠΔ: νεηνίης Ε 13 εἴκοσιν ἔτη προςέθηκα: εἴκοσι Ε: λείπει ΔΠ 22. ὥςτ' ΔΠ: ὥςτε Ε 24. ὕδωρ πίνουσι ΔΠ: λιτὸν ὕδωρ πίνουσιν Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

Σύμβολα δ' αὐτοῦ πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, ἤτοι δυναστῶν ὀργὴν καὶ οἰδοῦντα θυμὸν μὴ κινεῖν· ζυγὸν μὴ ὑπερβαίνειν, ἤτοι τὸ ἴσον καὶ δίκαιον· ἐπὶ χοίνικος μὴ καθίζειν, ἤγουν ἐν ἴσῳ τοῦ παρόντος καὶ τοῦ μέλλοντος φροντίδα ποιεῖσθαι· ἡ γὰρ χοῖνιξ ἡμερησία τροφή· καρδίαν μὴ ἐσθίειν, ἤτοι μὴ τὴν ψυχὴν ἀνίαις κατατείνειν καὶ λύπαις· εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι, ἤγουν ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν.

λει καὶ βωμὸν προσκυνῆσαι μόνον ἐν Δήλῳ τὸν Ἀπόλλωνος τοῦ γενέτορος, ὅς ἐστιν ὄπισθεν τοῦ Κερατίνου, διὰ τὸ πυροὺς καὶ κριθὰς καὶ πόπανα μόνα τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός, ἱερεῖον δὲ μηδέν, ὥς φησιν Ἀριστοτέλης ἐν Δηλίων πολιτείᾳ.

VIII, 1,18. ἦν δ' αὐτῷ τὰ σύμβολα τάδε· πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, . . . . (19) Ἤθελε δ' αὐτῷ τὸ μὲν πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, δυναστῶν ὀργὴν καὶ οἰδοῦντα θυμὸν μὴ κινεῖν· τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, [τουτέστι] τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν· ἐπί τε χοίνικος μὴ καθίζειν, ἐν ἴσῳ τοῦ ἐνεστῶτος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ἡ γὰρ χοῖνιξ ἡμερησία τροφή. διὰ δὲ τοῦ καρδίαν μὴ ἐσθίειν ἐδήλου μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν. διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι παρῄνει τοῖς ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν μηδ' ὑπὸ τῶν ἐνταῦθα ἡδονῶν ἐπάγεσθαι.

10. ἤτοι ΔΠ: λείπει Ε   11. οἰδοῦντα θυμὸν Ε: οἰδούντων θυμῷ ΔΠ   12. ζυγὸν ΔΠ: τὸ δὲ ζυγὸν Ε   13. ἤτοι ΔΠ: [τουτέστι] Ε   δίκαιον ἐπὶ ΔΠ: δίκαιον μὴ ὑπερβαίνειν· ἐπί τε Ε   14. ἤγουν ΔΠ: λείπει Ε   15-16. παρόντος καὶ τοῦ μέλλοντος φροντίδα ποιεῖσθαι ΔΠ: τοῦ ἐνεστῶτος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος Ε   17. καρδίαν ΔΠ: διὰ δὲ τοῦ καρδίαν Ε   18. ἤτοι ΔΠ: ἐδήλου Ε   19. κατατείνειν καὶ λύπαις ΔΠ: καὶ λύπαις κατατείνειν Ε   20. εἰς ΔΠ: διὰ δὲ τοῦ εἰς Ε   21. ἤγουν ΔΠ: παρῄνει τοῖς Ε   23. ζῆν ἔγραψα: ζῆν (καθ' ἃ πάντοτε) ΔΠ: ζῆν — ἐπάγεσθαι Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

Ὠνομάσθη δὲ Πυθαγόρας ὡς τὴν ἀλήθειαν ἀγορεύων οὐχ ἧττον τοῦ Πυθίου.

VIII, 1.21. φησὶ δ' Ἀρίστιππος ὁ Κυρηναῖος ἐν τῷ περὶ φυσιολόγων Πυθαγόραν αὐτὸν ὀνομασθῆναι ὅτι τὴν ἀλήθειαν ἠγόρευεν οὐχ ἧττον τοῦ Πυθίου.

Ἔλεγε δ' ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν κατὰ τὸ μετέχειν ἄνθρωπον θερμοῦ· διὸ καὶ προνοεῖσθαι τὸν θεὸν ἡμῶν.

VIII, 1, 27. καὶ ἀνθρώποις εἶναι πρὸς θεοὺς συγγένειαν, κατὰ τὸ μετέχειν ἄνθρωπον θερμοῦ· διὸ καὶ προνοεῖσθαι τὸν θεὸν ἡμῶν.

Τὸ δὲ σπέρμα εἶναι σταγόνα ἐγκεφάλου περιέχουσαν ἐν ἑαυτῇ ἀτμὸν θερμόν· ταύτην δὲ προςφερομένην τῇ μήτρᾳ ἀπὸ μὲν τοῦ ἐγκεφάλου ἰχῶρα καὶ ὑγρὸν αἷμα προΐεσθαι, ἐξ ὧν σάρκας καὶ νεῦρα καὶ ὀστᾶ συνίστασθαι, ἀπὸ δὲ τοῦ ἀτμοῦ ψυχὴν καὶ αἴσθησιν.

VIII, 1,28. τὸ δὲ σπέρμα εἶναι σταγόνα ἐγκεφάλου περιέχουσαν ἐν ἑαυτῇ θερμὸν ἀτμόν· ταύτην δὲ προςφερομένην τῇ μήτρᾳ ἀπὸ μὲν τοῦ ἐγκεφάλου ἰχῶρα καὶ ὑγρὸν αἷμα προΐεσθαι, ἐξ ὧν σάρκας τε καὶ νεῦρα καὶ ὀστᾶ καὶ τρίχας καὶ τὸ ὅλον συνίστασθαι σῶμα· ἀπὸ δὲ τοῦ ἀτμοῦ ψυχὴν καὶ αἴσθησιν.

Ὁ δὲ Χρύσιππος ἔλεγε σπέρμα εἶναι πνεῦμα κατὰ τὴν οὐσίαν, ὡς δῆλον ἐκ τῶν εἰς γῆν καταβαλλομένων σπερμάτων, ἃ παλαιωθέντα οὐκέτι φύεται, διαπεπνευκυίας αὐτῶν τῆς δυνάμεως· διὰ τοῦτο καὶ τοὺς γέροντας μὴ τεκνογονεῖν.

VII, 1, 158. ἀνθρώπου δὲ σπέρμα . . . (159) εἶναι δ' αὐτὸ Χρύσιππός φησιν ἐν τῇ δευτέρᾳ τῶν φυσικῶν πνεῦμα κατὰ τὴν οὐσίαν, ὡς δῆλον ἐκ τῶν εἰς τὴν γῆν καταβαλλομένων σπερμάτων, ἃ παλαιωθέντα οὐκέτι φύεται, ὡς δῆλον διαπεπνευκυίας αὐτοῖς τῆς δυνάμεως.

2-3. οὐχ ἧττον Ε: οὐχ' ἧττον Δ: οὐχῆττον Π  6. ἔλεγε δ' (δ' Δ: δὲ Π) ἀνθρώπων ΔΠ: καὶ ἀνθρώποις Ε  8. ἄνθρωπον ΠΕ: ἀνθρώπους Δ  11. ἑαυτῇ Ε: αὐτῇ ΔΠ  12. ἀτμὸν θερμὸν ΔΠ: θερμὸν ἀτμὸν Ε  15. σάρκας ἔγραψα: σάρκα ΔΠ: σάρκας τε Ε  16. συνίστασθαι ΔΠ: καὶ τρίχας καὶ τὸ ὅλον συνίστασθαι σῶμα Ε  20-21. ὁ δὲ — εἶναι ΔΠ: ἀνθρώπου — φυσικῶν Ε  22. γῆν ΔΠ: τὴν γῆν Ε  24. φύεται ΔΠ: φύεται, ὡς δῆλον Ε  25. αὐτῶν ΔΠ: αὐτοῖς Ε  26-27. διὰ τοῦτο (διατοῦτο Π) — τεκνογονεῖν ΔΠ: λίπουσιν Ε

Φασὶ δέ τινες τὸν Πυθαγόραν εἰς Μεταπόντιον ἐλθόντα ἀσιτίᾳ καταστρέψαι τὸν βίον. Οἱ δέ φασι, πολεμούντων Ἀκραγαντίνων καὶ Συρακουσίων, ἐξελθεῖν αὐτὸν καὶ προστῆναι τῶν Ἀκραγαντίνων· τροπῆς δὲ γενομένης, περικάμπτοντα αὐτὸν τὴν τῶν Κυάμων χώραν, ὑπὸ τῶν Συρακουσίων ἀναιρεθῆναι.

VIII, 1, 40. φησὶ δὲ Δικαίαρχος τὸν Πυθαγόραν ἀποθανεῖν καταφυγόντα εἰς τὸ ἐν Μεταποντίῳ ἱερὸν τῶν Μουσῶν, τετταράκοντ' ἡμέρας ἀσιτήσαντα .... Ἕρμιππος δέ φησι, πολεμούντων Ἀκραγαντίνων καὶ Συρακοσίων, ἐξελθεῖν τὸν Πυθαγόραν μετὰ τῶν συνήθων καὶ προστῆναι τῶν Ἀκραγαντίνων· τροπῆς δὲ γενομένης περικάμπτοντα αὐτὸν τὴν τῶν κυάμων χώραν ὑπὸ τῶν Συρακοσίων ἀναιρεθῆναι...

Οὗτος ἔλεγε τοὺς λόγους ψυχῆς ἀνέμους εἶναι, δεσμὰ δὲ τῆς ψυχῆς τὰς φλέβας καὶ τὰς ἀρτηρίας.

VIII, 1, 30. τοὺς δὲ λόγους ψυχῆς ἀνέμους εἶναι ... (31) δεσμά τ' εἶναι τῆς ψυχῆς τὰς φλέβας καὶ τὰς ἀρτηρίας καὶ τὰ νεῦρα.

Ἐμπεδοκλῆς, ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων, ὡς καὶ τοὺς καρποὺς λυμήνασθαι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς γενέσθαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα· λήξαντος δέ, Κωλυσανέμας ἐκλήθη.

VIII, 2, 60. καὶ γὰρ ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων ὡς τοὺς καρποὺς λυμήνασθαι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιεῖσθαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα· λήξαντος δέ, Κωλυσανέμαν κληθῆναι.

1-3. φασὶ — οἱ δέ φασι ΔΠ: φησὶ — δέ φησι Ε    5 (καὶ 9-10). συρακουσίων ΔΠ: Συρακοσίων Ε    6. αὐτὸν ΔΠ: τὸν Πυθαγόραν μετὰ τῶν συνήθων Ε    8. περικάμπτοντα ΔΕ: διακάμπτοντα Π    14. οὗτος ἔλεγε τοὺς ΔΠ: τοὺς δὲ Ε    15. δὲ ΔΠ: τ' εἶναι Ε    16-17. ἀρτηρίας ΔΠ: ἀρτηρίας καὶ τὰ νεῦρα Ε    21. Ἐμπεδοκλῆς ΔΠ: καὶ γὰρ Ε    22. καὶ ΔΠ: λείπει Ε    23. λυμήνασθαι Ε: λυμῆναι ΔΠ    24-25. γενέσθαι ΔΠ: ποιεῖσθαι Ε    28. Κωλυσανέμας ἐκλήθη ΔΠ: Κωλυσανέμαν κληθῆναι Ε

Κληθέντος δ' αὐτοῦ ὑπό τινος τῶν ἀρχόντων καὶ προβαίνοντος τοῦ δείπνου τὸ ποτὸν οὐκ εἰςεφέρετο. τῶν δ' ἄλλων ἡσυχαζόντων, μισοπονήρως ἐκεῖνος διατεθείς, ἐκέλευσεν εἰςφέρειν· ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς βουλῆς ὑπηρέτην. Ὡς δ' ἦλθε, κατέστησεν αὐτὸν ὁ δειπνοκλήτωρ συμποσίαρχον· ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν· ἐκέλευσε γὰρ ἢ πίνειν ἢ καταχεῖσθαι τῆς κεφαλῆς. Τότε μὲν οὖν Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίᾳ εἰςαγαγὼν εἰς δικαστήριον ἀπέκτεινε τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον.

VIII, 2, 64. φησὶ γὰρ ὅτι κληθεὶς ὑπό τινος τῶν ἀρχόντων καὶ προβαίνοντος τοῦ δείπνου ὡς τὸ ποτὸν οὐκ εἰςεφέρετο, τῶν ἄλλων ἡσυχαζόντων, μισοπονήρως διατεθεὶς ἐκέλευσεν εἰςφέρειν· ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς βουλῆς ὑπηρέτην. ὡς δὲ παρεγένετο, ἐγενήθη συμποσίαρχος, τοῦ κεκληκότος δηλονότι καταστήσαντος, ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν· ἐκέλευσε γὰρ ἢ πίνειν ἢ καταχεῖσθαι τῆς κεφαλῆς. Τότε μὲν οὖν ὁ Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίᾳ εἰςαγαγὼν εἰς δικαστήριον ἀπέκτεινε καταδικάσας ἀμφοτέρους, τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον.

Ἐμπεσόντος δὲ Σελινουντίοις λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ παρακειμένου ποταμοῦ δυςωδίας, ὥςτε καὶ αὐτοὺς φθείρεσθαι καὶ τὰς γυναῖκας δυςτοκεῖν, δύο τινὰς τῶν σύνεγγυς ποταμῶν καταμί-

VIII, 2,70. τοῖς δὲ Σελινουντίοις ἐμπεσόντος λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ παρακειμένου ποταμοῦ δυςωδίας, ὥςτε καὶ αὐτοὺς φθείρεσθαι καὶ τὰς γυναῖκας δυςτοκεῖν, ἐπινοῆσαι τὸν Ἐμπεδοκλέα

1. κληθέντος δ' αὐτοῦ Π: τούτου κληθέντος Δ: φησὶ δ' ὅτι κληθεὶς Ε 3. δείπνου Ε: πότου ΔΠ τὸ ΔΠ: ὡς τὸ Ε ποτὸν Ε: δεῖπνον ΔΠ 4. δ' ΔΠ: λείπει Ε 4-5. ἡσυχαζόντων ΠΕ: εἰσηχαζόντων Δ 5. ἐκεῖνος ΔΠ: λείπει Ε
8. δ' ἦλθε ΔΠ: δὲ παρεγένετο Ε 9-10. κατέστησεν αὐτὸν ὁ δειπνοκλήτωρ συμποσίαρχον ΔΠ: ἐγενήθη συμποσίαρχος τοῦ κεκληκότος δηλονότι καταστήσαντος Ε 13. οὖν ΔΠ: οὖν ὁ Ε 14. δ' ΠΕ: δὲ Δ 14-15. εἰςαγαγὼν Ε: ἀγαγὼν ΔΠ 15. ἀπέκτεινε ΔΠ: ἀπέκτεινε καταδικάσας ἀμφοτέρους Ε 19-20. ἐμπεσόντος δὲ (ἐμπεσόντος Π) σελινουντίοις ΔΠ: τοῖς δὲ Σελινουντίοις ἐμπεσόντος Ε
20. ἀπὸ Ε: λείπει ΔΠ 23-σ. 368,1. δύο τινὰς — ῥεύματα ΔΠ: ἐπινοῆσαι — ῥεύματα Ε

| | |
|---|---|
| ξας ἐγλύκανε τὰ ῥεύματα. Καὶ τοῦ λοιμοῦ λήξαντος καὶ τῶν Σελινουντίων εὐωχουμένων παρὰ τῷ ποταμῷ, ἐπεφάνη. Οἱ δ' ἐξαναστάντες προσεκύνησαν καθ' ἃ θεῷ. Ταύτην οὖν θέλων διαβεβαιῶσαι τὴν ὑπόθεσιν, εἰς τὸ πῦρ ἐνήλατο. | καὶ δύο τινὰς ποταμοὺς τῶν σύνεγγυς ἐπαγαγεῖν ἰδίαις δαπάναις· καὶ καταμίξαντα γλυκᾶναι τὰ ῥεύματα. οὕτω δὴ λήξαντος τοῦ λοιμοῦ καὶ τῶν Σελινουντίων εὐωχουμένων ποτὲ παρὰ τῷ ποταμῷ, ἐπιφανῆναι τὸν Ἐμπεδοκλέα· τοὺς δ' ἐξαναστάντας προσκυνεῖν καὶ προσεύχεσθαι καθαπερεὶ θεῷ. ταύτην οὖν θέλοντα διαβεβαιῶσαι τὴν ὑπόληψιν εἰς τὸ πῦρ ἐναλέσθαι. |
| Ὕστερον δὲ ἐγνώσθη μιᾶς τῶν ἐμβάδων αὐτοῦ ἀναρριπισθείσης· χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. | VIII, 2,69. ὕστερον δὲ γνωσθῆναι, ἀναρριπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων· χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. |
| Οὗτος ἔλεγε τὸν ἥλιον πυρὸς ἄθροισμα μέγα· τὸν οὐρανὸν κρυσταλλοειδῆ· τὴν ψυχὴν παντοῖα ζῴων εἴδη ἐνδύεσθαι. Φησὶ γοῦν·<br>Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε<br>θάμνος τ' οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς. | VIII, 2.77. καὶ τὸν μὲν ἥλιόν φησι πυρὸς ἄθροισμα μέγα καὶ τῆς σελήνης μείζω· τὴν δὲ σελήνην δισκοειδῆ, αὐτὸν δὲ τὸν οὐρανὸν κρυσταλλοειδῆ. καὶ τὴν ψυχὴν παντοῖα εἴδη ζῴων καὶ φυτῶν ἐνδύεσθαι· φησὶ γοῦν·<br>Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε |

1-2. καὶ τοῦ λοιμοῦ λήξαντος ΔΠ: οὕτω δὴ λήξαντος τοῦ λοιμοῦ Ε 3-4. παρὰ τῷ ποταμῷ ΠΕ: λείπουσι Δ 4-6. ἐπεφάνη· οἱ — θεῷ ΔΠ: ἐπιφανῆναι τὸν Ἐμπεδοκλέα· τοὺς — θεῷ Ε 4. δ' Π: δὲ Δ 6. θέλων ΔΠ: θέλοντα Ε 7. ὑπόθεσιν ΔΠ: ὑπόληψιν Ε 8. ἐνήλατο ΔΠ: ἐναλέσθαι Ε 13. δὲ ΔΕ: δ' Π 13-14. ἐγνώσθη — ἀναρριπισθείσης ΔΠ: γνωσθῆναι — κρηπίδων Ε 17. Οὗτος ἔλεγε Δ (λείπουσι Π) — μέγα ΔΠ: καὶ τὸν — δισκοειδῆ Ε ἥλιον Δ: ἥλιον ἔλεγε Π 18. τὸν ΔΠ: αὐτὸν δὲ τὸν Ε 18-19. κρυσταλλοειδῆ ΠΕ: κρυσταλοειδῆ Δ 19. τὴν ΔΠ: καὶ τὴν Ε 20. ζῴων εἴδη ΔΠ: εἴδη ζῴων καὶ φυτῶν Ε ἐνδύεσθαι Ε: δύεσθαι ΔΠ 21. Ἐν τῇ ᾤᾳ βραχυγραφικῶς Ἐπίγραμμα Π ἐγὼ γενόμην ΠΕ: ἐγενόμην Δ 22. κοῦρός Ε: κοῦρος Π: κούρος Δ κόρη Ε: κούρη ΔΠ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. τος κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

θάμνος τ' οἰωνός τε καὶ ἐξ ἁλὸς
ἔμπυρος ἰχθύς.

Καὶ σύ ποτ', Ἐμπεδόκλεις, διερῇ
φλογὶ σῶμα καθήρας
πῦρ ἀπὸ κρητήρων ἐξέπιες
θάνατον.
Οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν
βάλες ἐς ῥόον Αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες
οὐκ ἐθέλων.

VII, 2,75. Καὶ σύ ποτ' Ἐμπεδό-
κλεις, διερῇ φλογὶ σῶμα καθήρας
πῦρ ἀπὸ κρητήρων ἐξέπιες
θάνατον·
οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν
βάλες ἐς ῥόον Αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες
οὐκ ἐθέλων.

Ἡράκλειτος ὁ Ἐφέσιος, ἀναχωρήσας εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, μετὰ παίδων ἠστραγάλιζε. Περιστάντων δ' αὐτὸν τῶν Ἐφεσίων, Τί, ὦ κάκιστοι, θαυμάζετε, εἶπεν; ἢ οὐ κρεῖττον τοῦτο ποιεῖν ἢ μεθ' ὑμῶν πολιτεύεσθαι; Καὶ τέλος μισανθρωπήσας ἐν ὄρεσι διῃτᾶτο. Περιτραπεὶς δὲ εἰς ὕδερον κατῆλθεν ἐς ἄστυ, καὶ τῶν ἰατρῶν αἰνιγματωδῶς ἐπυνθάνετο, εἰ δύναιντο ἐξ ἐπομβρίας αὐχμὸν ποιῆσαι· τῶν δὲ μὴ συνέντων, ἐς

IX, 1,1. Ἡράκλειτος Βλύσωνος, ἤ, ὥς τινες, Ἡρακίοντος Ἐφέσιος. (3) ἀναχωρήσας δ' εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος μετὰ τῶν παίδων ἠστραγάλιζε· περιστάντων δ' αὐτὸν τῶν Ἐφεσίων, «τί, ὦ κάκιστοι, θαυμάζετε; ἔφη· ἢ οὐ κρεῖττον τοῦτο ποιεῖν ἢ μεθ' ὑμῶν πολιτεύεσθαι;» Καὶ τέλος μισανθρωπήσας καὶ ἐκπατήσας ἐν τοῖς ὄρεσι διῃτᾶτο, πόας σιτούμενος καὶ βοτάνας. καὶ μέντοι διὰ τοῦτο περιτραπεὶς

3. ποτ' Ε: ποτ Π: ποτε Δ   ἐμπεδόκλεις ΔΕ: εμπεδόκλεις Π   5. πῦρ Ε: πυρὸς ΔΠ   κρητήρων Ε: κρατήρων ΔΠ   ἐξέπιες Ε ἔδας ἐπὶ ΔΠ   7. σαυτὸν Ε: αὐτὸν ΔΠ   13. Ἡράκλειτος ὁ Ἐφέσιος ΔΠ: Ἡράκλειτος — Ἐφέσιος Ε   14. εἰς ΔΠ: δ' εἰς Ε   15. παίδων ΔΠ: τῶν παίδων Ε   16. δ' ΠΕ: δὲ Δ   αὐτὸν Ε: αὐτῷ ΔΠ   18. εἶπεν ΔΠ: ἔφη Ε   τοῦτο ΠΕ: τοῦτο μετὰ παίδων Δ   19. ὑμῶν ΠΕ: ἡμῶν Δ   20. μισανθρωπήσας ΔΠ: μισανθρωπήσας καὶ ἐκπατήσας Ε   ἐν ΔΠ: ἐν τοῖς Ε   20-21. διῃτᾶτο ΔΠ: διῃτᾶτο — διὰ τοῦτο Ε   22. δὲ ΔΠ: λείπει Ε   ὕδερον Ε: ὕστερον ΔΠ   21. ἐς ΔΠ: εἰς Ε   24. δύναιντο ΔΠ: δύναιντ' Ε   25. συνέντων Ε: συνιέντων ΔΠ   ἐς ΔΠ: αὐτὸν εἰς Ε



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΔΤΠΑ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

βουστάσιον κατορύξας ἑαυτὸν, ἐν τῇ τῶν βολβίτων ἀλέᾳ ἤλπιζεν ἐξατμισθήσεσθαι· μηδὲν δ' ἀνύων ἐτελεύτησεν.

εἰς ὕδερον κατῆλθεν εἰς ἄστυ καὶ τῶν ἰατρῶν αἰνιγματωδῶς ἐπυνθάνετο εἰ δύναιντ' ἐξ ἐπομβρίας αὐχμὸν ποιῆσαι· τῶν δὲ μὴ συνέντων, αὐτὸν εἰς βουστάσιον κατορύξας τῇ τῶν βολίτων ἀλέᾳ ἤλπισεν ἐξατμισθήσεσθαι. οὐδὲν δ' ἀνύων οὐδ' οὕτως, ἐτελεύτα βιοὺς ἔτη ἑξήκοντα.

Ἐλθόντος Ἱπποκράτους πρὸς Δημόκριτον, ἐκέλευσε κομισθῆναι γάλα· καὶ ἰδὼν εἶπεν εἶναι αἰγὸς πρωτοτόκου καὶ μελαίνης. Καὶ ἐθαύμασε τὴν ἀκρίβειαν αὐτοῦ ὁ Ἱπποκράτης. Ἀλλὰ καὶ τὴν κόρην τὴν μετὰ Ἱπποκράτους ἐλθοῦσαν πρὸς αὐτὸν τῇ μὲν πρώτῃ ἡμέρᾳ ἠσπάσατο οὕτω, Χαῖρε, κόρη, τῇ δ' ἑτέρᾳ Γύναι· καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη.

IX, 7.42. φησὶ δ' Ἀθηνόδωρος ἐν ὀγδόῃ Περιπάτων, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτόν, κελεῦσαι κομισθῆναι γάλα· καὶ θεασάμενον [τὸ γάλα] εἰπεῖν εἶναι αἰγὸς πρωτοτόκου καὶ μελαίνης· ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ κόρης ἀκολουθησάσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω, Χαῖρε κόρη, τῇ δ' ἐχομένῃ Χαῖρε γύναι· καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη.

Ἀποθνήσκοντος δ' αὐτοῦ ἡ ἀδελφὴ ἐλυπεῖτο, ὅτι ἐν τῇ τῶν

IX, 7,43. Τελευτῆσαι δὲ τὸν Δημόκριτόν φησιν Ἕρμιππος τοῦ-

1. κατορύξας ἑαυτὸν ΔΠ: κατορύξας Ε   2. βολβίτων ΔΠ: βολίτων Ε   ἀλέᾳ ΔΕ: ἀλέα Π   ἤλπιζεν ΔΠ: ἤλπισεν Ε   3. ἐξατμισθήσεσθαι Ε: ἐξατμηθήσεσθαι ΔΠ   μηδὲν ΔΠ: οὐδὲν Ε   δ' ΠΕ: δὲ Δ   4. ἐτελεύτησεν ΔΠ: οὐδ' οὕτως — ἑξήκοντα Ε   11. ἐλθόντος ΔΠ: φησὶ — ἐλθόντος Ε   12. δημόκριτον ΔΠ: αὐτὸν Ε   ἐκέλευσε ΔΠ: κελεῦσαι Ε   13. ἰδὼν εἶπεν (εἶπε) ΔΠ: θεασάμενον [τὸ γάλα] εἰπεῖν Ε   εἶναι Ε: καὶ ΔΠ   14-16. καὶ ἐθαύμασε — ὁ (ὁ λείπει Π) ἱπποκράτης Δ: ὅθεν — Ἱπποκράτην Ε   16-17. τὴν κόρην — αὐτὸν ΔΠ: κόρης — Ἱπποκράτει Ε   17-18. ἐλθοῦσαν πρὸς αὐτὸν ΔΠ: πρὸς αὐτὸν ἐλθοῦσαν Δ   19. ἡμέρᾳ ΠΕ: ἡμέρᾳ ἡμέρα Δ   ἠσπάσατο ΔΠ: ἀσπάσασθαι Ε   οὕτω Ε: οὕτως ΔΠ   20. δ' ΠΕ: δὲ Δ   ἑτέρᾳ ΔΠ: ἐχομένῃ Ε   γύναι ΔΠ: χαῖρε γύναι Ε   24-25. ἀποθνήσκοντος — ἐλυπεῖτο ΔΠ: Τελευτῆσαι — λυπεῖσθαι Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ.τ.π.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Θεσμοφορίων ἑορτῇ μέλλοι τεθνήξεσθαι. Ὁ δὲ ἐκέλευσεν ἄρτους θερμοὺς ὀσημέραι αὐτῷ προσφέρειν· καὶ τούτους ταῖς ῥισὶ προσφέρων διεκαρτέρησε ζῶν τὴν ἑορτήν.

τον τὸν τρόπον. ἤδη ὑπέργηρων ὄντα πρὸς τῷ καταστρέφειν εἶναι. τὴν οὖν ἀδελφὴν λυπεῖσθαι ὅτι ἐν τῇ τῶν Θεσμοφορίων ἑορτῇ μέλλοι τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον αὐτὴ (γρ. αὐτὴν) οὐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὀσημέραι. τούτους δὴ ταῖς ῥισὶ προσφέρων διεκράτησεν αὐτὸν τὴν ἑορτήν . . .

Ἀνάξαρχος ἐχθρὸς ἦν Νικοκρέοντι τῷ Κύπρου τυράννῳ. Καί ποτε συνεστιώμενος Ἀλεξάνδρῳ, ἐρομένου τοῦ βασιλέως Τί ἄρα σοι δοκεῖ τὸ δεῖπνον, ἔφη αὐτῷ· Πάντα πολυτελές· ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου παρατεθῆναι· τοῦτο δ' εἶπε διὰ Νικοκρέοντα. Ὁ δὲ μνησικακήσας μετὰ [τὴν] τελευτὴν τοῦ βασιλέως, ὅτε πλέων ἀκουσίως προσηνέχθη τῇ Κύπρῳ, συλλαβὼν αὐτὸν καὶ εἰς ὅλμον

IX, 10, 58. Ἀνάξαρχος . . . καὶ εἶχεν ἐχθρὸν Νικοκρέοντα τὸν Κύπρου τύραννον· καί ποτ' ἐν συμποσίῳ τοῦ Ἀλεξάνδρου ἐρωτήσαντος αὐτὸν τί ἄρα δοκεῖ τὸ δεῖπνον, εἰπεῖν φασιν, «ὦ βασιλεῦ, πάντα πολυτελῶς· ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου παρατεθεῖσθαι·» ἀπορρίπτων πρὸς τὸν Νικοκρέοντα. (59) ὁ δὲ μνησικακήσας μετὰ τὴν τελευτὴν τοῦ βασιλέως ὅτε πλέων ἀκουσίως

1. μέλλοι Ε: μέλλει ΔΠ 1-3. τεθνήξεσθαι — προσφέρειν ΔΠ: τεθνήξεσθαι — ὀσημέραι Ε 2. ἄρτους ΔΠ: ἄρτους αὐτῷ Π 3. αὐτῷ Δ: λείπει Π 4. καὶ τούτους ἔγραψα: καὶ τούτου ΔΠ: τούτους δὴ Ε 5-6. διεκαρτέρησε ζῶν τὴν ἑορτὴν Π: διήρκεσε μέχρι τῆς ἑορτῆς Δ: διεκράτησεν αὐτὸν τὴν ἑορτὴν Ε 13. Ἀνάξαρχος ΠΕ: Ὁ ἀνάξαρχος Δ 13-14. ἐχθρὸς — τῷ ΔΠ: καὶ εἶχεν — τὸν Ε 14 κύπρου τυράννῳ Π: κυπρίῳ Δ: Κύπρου τύραννον Ε 15-16. ποτε — βασιλέως ΔΠ: ποτ' — αὐτὸν Ε 17. σοι Δ: λείπει ΠΕ δοκεῖ τὸ δεῖπνον ΠΕ: τὸ δεῖπνον δοκεῖ Δ ἔφη αὐτῷ Π: ἔφη Δ: εἰπεῖν φασιν ὦ βασιλεῦ Ε 18. πολυτελές ΔΠ: πολυτελῶς Ε 19-20. παρατεθῆναι — διὰ ΔΠ: παρατεθεῖσθαι — πρὸς τὸν Ε 21. τὴν Ε: λείπει ΔΠ 22. πλέων ΔΕ: πλεων Π 23. κύπρῳ ΔΠ: Κύπρῳ ὁ Ἀνάξαρχος Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Τ.Ν.Φ. ΚΤ.Π. ΙΩΑΝΝΙΝΑ 2006

βαλὼν ἐκέλευσε τύπτεσθαι σιδηροῖς ὑπέροις. Ὁ δέ, μὴ φροντίζων, ἔλεγε· Πτίσσε πτίσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δὲ οὐ πλήττεις. Κελεύσαντος δὲ τοῦ τυράννου καὶ τὴν γλῶτταν αὐτοῦ ἀποτμηθῆναι, ἀποτραγὼν προσέπτυσεν αὐτῷ.

Οὗτος τὸν Ἀλέξανδρον, οἰόμενον εἶναι θεόν, ἐπέστρεψεν· ἔκ τινος γὰρ πληγῆς ἰδὼν αὐτοῦ καταρρέον αἷμα, δείξας τῇ χειρὶ φησι· Τουτὶ μὲν αἷμα καὶ οὐκ

ἰχὼρ οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

Ἀλλὰ καὶ ἄλλοτε προπίνων αὐτῷ, δείξας τὴν κύλικα, εἶπε·

Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί.

προςηνέχθη τῇ Κύπρῳ ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν καὶ εἰς ὅλμον βαλὼν ἐκέλευσε σιδηροῖς ὑπέροις τύπτεσθαι. τὸν δ' οὐ φροντίσαντα τῆς τιμωρίας εἰπεῖν ἐκεῖνο δὴ τὸ περιφερόμενον, Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δ' οὐ πτίσσεις. κελεύσαντος δὲ τοῦ Νικοκρέοντος καὶ τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος ἀποτραγόντα προςπτύσαι αὐτῷ.

IX. 10 60. Οὗτος... τὸν γοῦν Ἀλέξανδρον οἰόμενον εἶναι θεὸν ἐπέστρεψεν· ἐπειδὴ γὰρ ἔκ τινος πληγῆς εἶδεν αὐτῷ καταρρέον αἷμα, δείξας τῇ χειρὶ πρὸς αὐτὸν φησι, «τουτὶ μὲν αἷμα καὶ οὐκ

ἰχὼρ οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσι.»

... ἀλλὰ καὶ ἄλλοτε προπίνοντα αὐτῷ τὸν Ἀνάξαρχον δεῖξαι τὴν κύλικα καὶ εἰπεῖν

Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί.

1-2. τύπτεσθαι σιδηροῖς ὑπέροις ΔΠ : σιδηροῖς ὑπέροις τύπτεσθαι Ε   2-3. ὁ δὲ—ἔλεγε ΔΠ : τὸν δ'—περιφερόμενον Ε   3. πτίσσε πτίσσε Ε: πτίσσε πτίσε Π: πτίσε πτίσε Δ   5. δὲ οὐ πλήττεις ΔΠ: δ' οὐ πτίσσεις Ε   6. τυράννου ΔΠ: Νικοκρέοντος Ε   7. ἀποτμηθῆναι ΔΠ: ἐκτμηθῆναι Ε   7-8. ἀποτραγὼν προσέπτυσεν ΔΠ: λόγος ἀποτραγόντα προςπτύσαι Ε   12. τὸν ΔΠ: τὸν γοῦν Ε   13-14. ἔκ τινος γὰρ πληγῆς ἰδὼν αὐτοῦ ΔΠ: ἐπειδὴ γὰρ ἔκ τινος πληγῆς εἶδεν αὐτῷ Ε   16. φησι ἔγραψα: φησί ΔΠ: πρὸς αὐτὸν φησι Ε   17. οἷός Ε: οἷος ΔΠ   μακάρεσσι ΠΕ: μακάρεσι Δ   18. θεοῖσιν ΔΠ: θεοῖσι Ε   19. προπίνων ΔΠ: προπίνοντα Ε   αὐτῷ ΔΕ: αὐτοῦ Π   20. δείξας ... εἶπε ΔΠ: δεῖξαι ... καὶ εἰπεῖν Ε   22. χερί Ε: χειρί ΔΠ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.ΕΠ.Ε.Α.Ε.Κ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

Τοιαῦτα τὰ ἐν τοῖς δύο κώδιξιν ἀπανθίσματα τοῦ Λαερτίου. Ὑπολαβὼν χρήσιμον τὴν ἔκδοσιν ὁλοκλήρου αὐτῶν τοῦ κειμένου ἐν παραθέσει καὶ τῶν ἀντιστοίχων χωρίων τῆς ἐκδόσεως τοῦ Cobet, πολὺ θὰ ἐπεθύμουν νὰ ἐκθέσω ἐν τέλει καὶ τὴν ἐμὴν γνώμην περὶ τῆς θέσεως ἣν καταλαμβάνουσιν ὁ Διονυσιακὸς καὶ ὁ Παρισιακὸς κῶδιξ ἐν τῇ παραδόσει τοῦ κειμένου. Καὶ ὅτι μὲν οὗτοι καθ' ἑαυτοὺς εἶνε ἀνεξάρτητοι ἀλλήλων γίνεται εὐθὺς ἀμέσως σαφὲς εἰς τὸν διεξερχόμενον τὰς ὑποσελιδίους γραφάς, καθ' ἃ παρετήρησα ἤδη ἀνωτέρω ἐν σ. 265 κ. ἑ. Δὲν εἶνε δ' εὔκολον μετὰ ταὐτόθι εἰρημένα νὰ εὑρεθῇ ὁ λόγος, δι' ὃν ὁ βιβλιογράφος ἀντέγραψε δὶς τἀπανθίσματα ταῦτα ἐκ δύο διαφόρων ἀλλήλων κωδίκων, γράψας τοὺς δύο νέους κώδικας, ὧν τὴν ἐκπληκτικὴν πρὸς ἀλλήλους ὁμοιότητα ὑπὸ ἔποψιν παλαιογραφικὴν περιέγραψ' ἀνωτέρω ἐν σ. 263 κ. ἑ. Προβαίνει δὲ ἡ ὁμοιότης μέχρι καὶ αὐτῶν τῶν διαστάσεων. Πράγματι τὸ μὲν γεγραμμένον μέρος τοῦ Διονυσιακοῦ ἔχει μῆκος μὲν 0,105, πλάτος δὲ 0,17, τὸ δὲ τοῦ Παρισιακοῦ μικρὸν διαφέρει, ἔχον μῆκος μὲν 0,110, πλάτος δὲ 0,072. Καὶ τοῦ μὲν Παρισιακοῦ τὰ φύλλα ἔχουσιν ὅλον μῆκος 0,168 καὶ πλάτος 0,110, ἀνάλογον δὲ εἶνε τὸ τοῦ Διονυσιακοῦ, ὅπερ δὲν ἔχω σημειώσει ἀκριβῶς.

Τίς δὲ ἡ σχέσις τῶν κωδίκων τούτων πρὸς τὴν λοιπὴν ἐν τοῖς ἀπογράφοις παράδοσιν τοῦ Λαερτίου; Περὶ τούτου δὲν δυνάμεθα νἀποφανθῶμεν ἀσφαλῶς. Τὰ Analecta Laertiana τοῦ καθηγητοῦ κ. Edgar Martini (ἐν Λειψίᾳ μέρ. α' 1899. μέρ. β' 1902) χρησιμεύουσιν ἀληθῶς εἰς καθορισμὸν τῆς σχέσεως τῶν ἀπογράφων τοῦ Λαερτίου πρὸς ἄλληλα καὶ παρέχουσιν ὑλικὸν πλούσιον καὶ πολύτιμον ἐκ τῶν ὑπ' αὐτοῦ ἀντιβληθέντων κωδίκων· ἀλλ' αἱ ἐν αὐτοῖς ἀναγραφόμεναι διάφοροι γραφαὶ δὲν ἐπαρκοῦσι πρὸς ἀναμφίβολον κρίσιν περὶ τῆς πρὸς τοὺς λοιποὺς κώδικας σχέσεως τοῦ Διονυσιακοῦ καὶ τοῦ Παρισιακοῦ. Καὶ δὴ τῶν γνωστῶν ἄλλων κωδίκων κυρίως δύνανται ἐν τῷ

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΣΗ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ. Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

προκειμένῳ ζητήματι νὰ ληφθῶσιν ὑπ' ὄψιν οἱ τρεῖς ἀρχαιότατοι, ὁ τῆς ἐν Νεαπόλει Ἐθνικῆς βιβλιοθήκης III, B 29 (B), ὁ Βατικανικὸς Gr. 1302 (V) καὶ ὁ τῆς Λαυρεντιακῆς βιβλιοθήκης Plut. LXIX cod. 13 (L), ἴσως δὲ καὶ ὁ τῶν Παρισίων 1787 (P). Τούτων τοὺς μὲν τρεῖς πρώτους ἀντέβαλεν ἀκριβῶς ὡς πρὸς τὰ ἓξ πρῶτα βιβλία ὁ κ. Martini, τὸν δὲ Παρισιακὸν ὁ κ. Diels. Μόνον δὲ ἂν εἴχομεν ὑπ' ὄψιν τὸ ὅλον ὑλικὸν[1], θὰ ἦτο δυνατὴ ἡ ἀσφαλὴς κρίσις. Οὐχ ἧττον ἐκ τῶν προκειμένων τεκμηρίων φαίνεται, ὅτι ὁ ἀπανθιστὴς κυρίαν βάσιν εἶχε τὸ κείμενον οἷον παρέχει ὁ κῶδιξ B· ἀλλὰ τῆς ἐκλογῆς ὑπῆρξαν οὐχ ἧττον δύο διάφοροι παραλλαγαί, ἃς ἀντιπροσωπεύουσιν ἐξ ἑνὸς μὲν ὁ Διονυσιακὸς, ἐξ ἑτέρου δὲ ὁ Παρισιακὸς κῶδιξ.

Ἀνεξαρτήτως δὲ τοῦ ζητήματος τούτου ἐπισκοποῦντες τὴν παράδοσιν τῶν δύο νέων κωδίκων, εὑρίσκομεν ἐν αὐτῇ γραφὰς ἀξιολογωτάτας δυναμένας νὰ χρησιμεύσωσιν εἰς ἐπανόρθωσιν τοῦ κειμένου τοῦ Λαερτίου.

Ἀνακεφαλαιόνω δ' ἐνταῦθα διὰ βραχέων ἐκείνας, αἵτινες φαίνονται ἴσως ὑπάρξασαι ἐν αὐτῷ τῷ πρωτογράφῳ κειμένῳ, ὄχι δ' ἀπορρέουσαι ἐκ διασκευῆς τοῦ ἀπανθιστοῦ. Τοιαῦται εἶνε ἐν σ. 270,22 *τῆς πατρίου φωνῆς* ἀντὶ *τὴν φωνήν*. σ. 270,27 *διάξας* ἀντὶ τοῦ κοινῶς παραδεδομένου *ἤξας* ἀνθ' οὗ ὁ Cobet ἔγραψεν *ᾆξας*. — σ. 271,8 *διὰ δὲ δειλίαν ἡσυχαζόντων* ἀντὶ *διὰ δέος δὲ σιωπώντων*. — σ. 272,3-4 *βεβοήθηταί σοι τὰ παρ' ἐμοῦ* ἀντὶ *βεβοήθηκά σοι*. — σ. 273,8 *προσενέπης* ἀντὶ *προσενέπη*. σ. 273,8 *τοι* ἀντὶ *οἱ* σ. 273,28 *μηδενὶ ἀπειλεῖν* ἀντὶ *μὴ ἀπειλεῖν μηδενί*. — σ. 275,1-2 *ταπεινοῦν... ὑψοῦν* ἀντὶ *ταπεινῶν... ὑψῶν*. — σ. 275,7 *Δαμαράτῳ* ἀντὶ *Δημάρατος*. — σ. 287,9 *ἄνδρα γεγονότα* ἀντὶ *ἄνδρα*. — σ. 288,21 *λοιμὸς* ἀντὶ *σεισμός*. — σ. 290,2 *ὑπὸ τοῦ* ἀντὶ *ἀπό*. — σ. 295,19-20 *Ξανθίππη*

[1] Ὁ κ. Martini προσηνέχθη εὐγενῶς νὰ θέσῃ τὸ ὅλον πόρισμα τῶν ἀντιβολῶν αὐτοῦ εἰς τὴν διάθεσίν μου, ἀλλὰ δυστυχῶς δὲν ὑπῆρχεν ὁ προσήκων καιρὸς ὅπως ἀποδεχθῶ τὴν πρόθυμον αὐτοῦ προσφοράν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*χρώμενος τραχείᾳ οὔσῃ τοῖς ἄλλοις ἀνθρώποις καλῶς* ἀντὶ *Ξανθίππῃ χρώμενος τοῖς ἄλλοις ἀνθρώποις.* — σ. 296,12. Τὸ *καταβάντων* φαίνεται ὀρθόν, τῶν δικαστῶν ἐπανορθωσάντων τὸ ὑπὸ τοῦ Πλάτωνος λεχθὲν *ἀναβάντων*· πρὸς ἑρμηνείαν δ' αὐτοῦ ἐτέθη τὸ *τουτέστι κατάβηθι*, ὅπερ εἶνε ἀναγκαῖον ἐφ' ὅσον προηγεῖται τὸ *καταβάντων*, παρέλκει δὲ πράγματι προηγουμένου τοῦ *κατάβα κατάβα* τῆς κοινῆς παραδόσεως, διὸ καὶ ὀρθῶς ἐξωβελίσθη ὑπὸ τοῦ Cobet — σ. 293,3 *ἁπάντων* ἀντὶ *πάντων*. — σ. 298,1 *τὴν μίαν* ἀντὶ *μίαν* — σ. 299,7 *τῶν* ἀντὶ *καὶ τῶν*. — σ. 300,18 *τὸν υἱὸν* ἀντὶ *υἱόν*. — σ. 311.4 *διαναστῆναι* ἀντὶ *ἀναστῆναι*. — σ. 312,23 *ἀπότρεχε* ἀντὶ *πορεύου*. — σ. 316,12 *παρακαιόντων δὲ ὡς αἰσθανομένοις* ἀντὶ *παρακαλούντων* (ἢ *παρακαιόντων δὲ ὡς αἰσθανομένους*. — σ. 316,6 *Ἀμφιάρεων* ἀντὶ *Ἀμφιάραον*. — σ. 317,7 8 *ὡς δ' ἀλλοτρίων φείδεσθαι καὶ* ἀντὶ *ὡς δ' ἐξ ἀλλοτρίων*. — σ. 320,13-15 *ἐκπιπτούσης... ἐξεγείροιτο* ἀντὶ *ἐκπεσούσης ... ἐξέγροιτο*. — σ. 321,6 *ἐκεῖνος εἴη* ἀντὶ *εἴη*. — 321,16 *πόσον* ἀντὶ *τίνι*. — σ. 327,10 *παραιρεῖσθαι* ἀντὶ *παραιτεῖσθαι*. — σ. 330,12 *ὀψώμενον* ἀντὶ *ἀψάμενον*. — σ. 331.18 *μουσικοὺς ἔλεγε* ἀντὶ *μουσικούς*. — σ. 332,12 *καὶ ἀπεκρίνατο* ἀντὶ *ἀπεκρίνατο*. σ. 332,16 *καθέζεσθαι* ἀντὶ *καθίζεσθαι*. — σ. 333, 18 *συνελθόντων τινῶν* ἀντὶ *συνελθόντων*. — σ. 336,6 *μύρῳ* ἀντὶ *τῷ μύρῳ*. — 337,20 *μετά τι κατὰ* ἀντὶ *μετά*. — σ. 338,14 *μετέχοι* ἀντὶ *μετέχει*. — σ. 339,11 *περιφέρον* ἀντὶ *περιφέρων*. — σ. 341,9 *παρὰ γνώμην ἐδείπνεις* ἀντὶ *ἐδείπνεις*. — σ. 344,5 *διὰ τί οἱ πλούσιοι* ἀντὶ *διὰ τί*. — σ. 344,27 *παρ'* ἀντὶ *πρός*. — σ. 346,11 *κρημνοῖς* ἀντὶ *κρημνῷ*. — σ. 348,21 *καὶ ταύτην* ἀντὶ *ταύτην*. — σ. 349 8 *οὐ* ἀντὶ *μὴ* — σ. 353,21 *συναισθόμενος* ἀντὶ *συναισθανόμενος*. — σ. 355,8 9 *μὲν οὖν* ἀντὶ *μέν*. — σ. 356,4 *ἀποστρέψαι* ἀντὶ *ἀποτρέψαι*. σ. 356,14 *συναπῄει* ἀντὶ *ἀπῄει*. — σ. 358,6 *εὐπεπλόηκα* ἀντὶ *εὐπλόηκα*. σ. — 358,7 8 *ἡ τύχη ποιεῖ* ἀντὶ *ποιεῖς* (ἢ *ποιεῖ ἡ τύχη*. — σ.

358,17 *αὐτὸν* ἀντὶ *αὐτήν*. — σ. 359,27 *περιγεγλυμμένους* ἀντὶ *περιγεγραμμένους*. — σ. 363,6 *πλησιάζειν γυναικὶ* ἀντὶ *πλησιάζειν*. — σ. 365,25 *αὐτῶν* ἀντὶ *αὐτοῖς*. — σ. 366,22 *ὡς καὶ* ἀντὶ *ὡς*. — σ. 367,5 *ἐκεῖνος διατεθεὶς* ἀντὶ *διατεθείς*. — σ. 371,6-7 *διεκαρτέρησε ζῶν τὴν ἑορτὴν* ἀντὶ *διεκράτησεν αὐτὸν τὴν ἑορτήν*. σ. 371,17 *σοι δοκεῖ* ἀντὶ *δοκεῖ*. σ. 371,18 *πολυτελὲς* ἀντὶ *πολυτελῶς*.

Οὐχ δ' ἧττον δ' εἶνε ἄξια προσοχῆς, καίπερ μὴ δυνάμενα νὰ ὑποληφθῶσιν ὑπάρχοντ' ἀνέκαθεν ἐν τῷ κειμένῳ μετὰ τῆς αὐτῆς καὶ τἀνωτέρω κατειλεγμένα πιθανότητος, τάδε· σ. 284,26 *βουλόμενοι* ἀντὶ *καὶ βούλοιτο*. — σ. 285, 26 *ἀμαθεῖς* ἀντὶ *μὴ τεχνῖται*. — σ. 286, 21 *ὁμοῦ* ἀντὶ *τε*. — σ. 312, 21 *εἰδότα* ἀντὶ *μεμαθηκότα*. — σ. 313, 3 *ῥᾴθυμον* ἀντὶ *νωθρόν*. — σ. 315, 7 *νέον* ἀντὶ *νεώτερον*. — σ. 324, 19 *νεανίσκους* ἀντὶ *νέους*. — σ. 325, 14 *σεμνολογουμένους* ἀντὶ *σεμνυνομένους*. — σ. 328, 14 *ἐξάγειν* ἀντὶ *ἐξαγαγεῖν*. — σ. 329, 14 *ξηρὸν* ἀντὶ *σκληρόν*. — σ. 331, 6 *δέκα* ἀντὶ *δὲ καί*. — σ. 335, 4 *ἀπαντήσας* ἀντὶ *ὑπαντήσας*. — σ. 346, 26 *αὐτόθι* ἀντὶ *αὐτόθεν*. — σ. 348, 13 *φιλοσοφίαν* ἀντὶ *σοφίαν*. — σ. 368, 7 *ὑπόθεσιν* ἀντὶ *ὑπόληψιν* (ἢ *διάληψιν*).

Τέλος δ' ἠδύνατο νὰ προστεθῇ ἴσως εἰς τὸ κείμενον τοῦ Λαερτίου τὸ *δὲ* ἢ *δ'* ἐν σ. 299, 21 καὶ 27. 312, 5. 316, 26. 317, 3. Ἠδύναντο δ' ὁμοίως πολλαχοῦ τοῦ κειμένου νὰ προτιμηθῶσιν οἱ διάφοροι τύποι λέξεων ἢ διάφοροι χρόνοι ῥημάτων ἢ ἡ διάφορος θέσις τῶν λέξεων ἣν παρέχουσιν ὁ Διονυσιακὸς καὶ ὁ Παρισιακὸς κῶδιξ ἐν συσχετισμῷ πρὸς τὰς γραφὰς τῶν ἀρίστων κωδίκων τοῦ Λαερτίου.

---

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006